τὸν μάντιν ἥκομεν, ἔτυχε μέν, ὦ Σιμμία, μέμνησαι γάρ, ἄνω πρὸς τὸ Σύμβολον Σωκράτης καὶ τὴν οἰκίαν τὴν Ἀνδοκίδου βαδίζων ἅμα τι διερωτῶν καὶ διασείων τὸν Εὐθύφρονα μετὰ παιδιᾶς. ἄφνω δ' ἐπιστὰς καὶ σιωπήσας προσέσχεν αὑτῷ συχνὸν χρόνον, εἶτ' ἀναστρέψας ἐπορεύετο τὴν διὰ τῶν κιβωτοποιῶν καὶ τοὺς προκεχωρηκότας E ἤδη τῶν ἑταίρων . . . . γεγονέναι τὸ δαιμόνιον. οἱ μὲν οὖν πολλοὶ συνανέστρεφον, ἐν οἷς κἀγὼ τοῦ Εὐθύφρονος ἐχόμενος, νεανίσκοι δέ τινες τὴν εὐθεῖαν βαδίζοντες ὡς δὴ τὸ Σωκράτους ἐλέγξοντες δαιμόνιον ἐπεσπάσαντο Χάριλλον τὸν αὐλητὴν ἥκοντα καὶ αὐτὸν μετ' ἐμοῦ εἰς Ἀθήνας πρὸς Κέβητα· πορευομένοις δ' αὐτοῖς διὰ τῶν ἑρμογλύφων παρὰ τὰ δικαστήρια σύες ἀπαντῶσιν ἀθρόαι βορβόρου περίπλεαι καὶ κατ' ἀλλήλων ὠθούμεναι διὰ πλῆ- F θος, ἐκτροπῆς δὲ μὴ παρούσης τοὺς μὲν ἀνέτρεψαν ἐμβαλοῦσαι τοὺς δ' ἀνεμόλυναν. ἧκεν οὖν καὶ ὁ Χάριλλος οἴκαδε τά τε σκέλη καὶ τὰ ἱμάτια βορβόρου μεστός, ὥστ' ἀεὶ τοῦ Σωκράτους δαιμονίου μεμνῆσθαι μετὰ γέλωτος ⟨ἡμᾶς σφόδρα⟩ θαυμάζοντας, εἰ μηδαμοῦ προλείπει τὸν ἄνδρα μηδ' ἀμελεῖ τὸ θεῖον αὐτοῦ.'

**11.** Καὶ ὁ Γαλαξίδωρος 'οἴει γάρ,' ἔφη 'Θεόκριτε, τὸ Σωκράτους δαιμόνιον ἰδίαν καὶ περιττὴν ἐσχηκέναι δύναμιν, οὐχὶ τῆς κοινῆς μόριόν τι ἀνάγκης τὸν ἄνδρα πείρᾳ βεβαιωσάμενον ἐν τοῖς ἀδήλοις καὶ ἀτεκμάρτοις τῷ λογισ-